**Liceo classico "Giulio Cesare"**

**a.s. 2017/2018**

**Classe VD**

# Euripide

# *Medea*

| | | |
|---|---|---|
| **Prologo,** | **vv.1-95** | **95** |
| **4° Episodio (vv. 764-810)** | | **46** |
| **5° Episodio (vv. 1002-1080)** | | **78** |

**Totale versi 219**

**Prologo (vv. 1-95)**

1. Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος

2. Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας,

3. μηδ᾽ ἐν νάπαισι Πηλίου πεσεῖν ποτε

4. τμηθεῖσα πεύκη, μηδ᾽ ἐρετμῶσαι χέρας

5. ἀνδρῶν ἀρίστων, οἳ τὸ πάγχρυσον δέρας

6. Πελίᾳ μετῆλθον. οὐ γὰρ ἂν δέσποιν᾽ ἐμὴ

7. Μήδεια πύργους γῆς ἔπλευσ᾽ Ἰωλκίας

8. ἔρωτι θυμὸν ἐκπλαγεῖσ᾽ Ἰάσονος·

9. οὐδ᾽ ἂν κτανεῖν πείσασα Πελιάδας κόρας

10. πατέρα κατῴκει τήνδε γῆν Κορινθίαν

11. ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἁνδάνουσα μὲν

12. φυγῇ πολιτῶν ὧν ἀφίκετο χθόνα,

13. αὐτή τε πάντα ξυμφέρουσ᾽ Ἰάσονι·

14. ἥπερ μεγίστη γίγνεται σωτηρία,

15. ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.

..................................................................................................................................

16. νῦν δʼ ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα.

..................................................................................................................................

17. προδοὺς γὰρ αὑτοῦ τέκνα δεσπότιν τʼ ἐμὴν

..................................................................................................................................

18. γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,

..................................................................................................................................

19. γήμας Κρέοντος παῖδʼ, ὃς αἰσυμνᾷ χθονός·

..................................................................................................................................

20. Μήδεια δʼ ἡ δύστηνος ἠτιμασμένη

..................................................................................................................................

21. βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιάς,

..................................................................................................................................

22. πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται

..................................................................................................................................

23. οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.

..................................................................................................................................

24. κεῖται δʼ ἄσιτος, σῶμʼ ὑφεῖσʼ ἀλγηδόσι,

..................................................................................................................................

25. τὸν πάντα συντήκουσα δακρύοις χρόνον,

..................................................................................................................................

26. ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετʼ ἠδικημένη,

..................................................................................................................................

27. οὔτʼ ὄμμʼ ἐπαίρουσʼ οὔτʼ ἀπαλλάσσουσα γῆς

..................................................................................................................................

28. πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος

..................................................................................................................................

29. κλύδων ἀκούει νουθετουμένη φίλων·

..................................................................................................................................

30. ἣν μή ποτε στρέψασα πάλλευκον δέρην

31. αὐτὴ πρὸς αὑτὴν πατέρ᾽ ἀποιμώξῃ φίλον

32. καὶ γαῖαν οἴκους θ᾽, οὓς προδοῦσ᾽ ἀφίκετο

33. μετ᾽ ἀνδρὸς ὅς σφε νῦν ἀτιμάσας ἔχει.

34. ἔγνωκε δ᾽ ἡ τάλαινα συμφορᾶς ὕπο

35. οἷον πατρῴας μὴ ἀπολείπεσθαι χθονός.

36. στυγεῖ δὲ παῖδας οὐδ᾽ ὁρῶσ᾽ εὐφραίνεται.

37. δέδοικα δ᾽ αὐτὴν μή τι βουλεύσῃ νέον·

38. βαρεῖα γὰρ φρήν, οὐδ᾽ ἀνέξεται κακῶς

39. πάσχουσ᾽· ἐγᾦδα τήνδε, δειμαίνω τέ νιν

40. μὴ θηκτὸν ὤσῃ φάσγανον δι᾽ ἥπατος,

41. σιγῇ δόμους εἰσβᾶσ᾽, ἵν᾽ ἔστρωται λέχος,

42. ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ,

43. κἄπειτα μείζω συμφορὰν λάβῃ τινά.

44. δεινὴ γάρ· οὔτοι ῥᾳδίως γε συμβαλὼν

..........................................................................................................................................

45. ἔχθραν τις αὐτῇ καλλίνικον οἴσεται.

..........................................................................................................................................

46. ἀλλ᾽ οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι

..........................................................................................................................................

47. στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι

..........................................................................................................................................

48. κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

..........................................................................................................................................

ΠΑΙΔΑΓΩΓΟΣ

49. παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,

..........................................................................................................................................

50. τί πρὸς πύλαισι τήνδ᾽ ἄγουσ᾽ ἐρημίαν

..........................................................................................................................................

51. ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;

..........................................................................................................................................

52. πῶς σοῦ μόνη Μήδεια λείπεσθαι θέλει;

..........................................................................................................................................

53. Τρ. τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,

..........................................................................................................................................

54. χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν

..........................................................................................................................................

55. κακῶς πίτνοντα, καὶ φρενῶν ἀνθάπτεται.

..........................................................................................................................................

56. ἐγὼ γὰρ ἐς τοῦτ᾽ ἐκβέβηκ᾽ ἀλγηδόνος,

..........................................................................................................................................

57. ὥσθ᾽ ἵμερός μ᾽ ὑπῆλθε γῇ τε κοὐρανῷ

..........................................................................................................................................

58. λέξαι μολούσῃ δεῦρο δεσποίνης τύχας.

..........................................................................................................................................

59. Πα. οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;

60. Τρ. ζηλῶ σ᾽· ἐν ἀρχῇ πῆμα κοὐδέπω μεσοῖ.

61. Πα. ὦ μῶρος - εἰ χρὴ δεσπότας εἰπεῖν τόδε·

62. ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.

63. Τρ. τί δ᾽ ἔστιν, ὦ γεραιέ; μὴ φθόνει φράσαι.

64. Πα. οὐδέν· μετέγνων καὶ τὰ πρόσθ᾽ εἰρημένα.

65. Τρ. μή, πρὸς γενείου, κρύπτε σύνδουλον σέθεν·

66. σιγὴν γάρ, εἰ χρή, τῶνδε θήσομαι πέρι.

67. Πα. ἤκουσά του λέγοντος, οὐ δοκῶν κλύειν,

68. πεσσοὺς προσελθών, ἔνθα δὴ παλαίτατοι

69. θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,

70. ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας

71. σὺν μητρὶ μέλλοι τῆσδε κοίρανος χθονὸς

72. Κρέων. ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε

73. οὐκ οἶδαῤ βουλοίμην δ᾽ ἂν οὐκ εἶναι τόδε.

74. Τρ. καὶ ταῦτ᾽ Ἰάσων παῖδας ἐξανέξεται

................................................................................................................................................

75. πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;

................................................................................................................................................

76. Πα. παλαιὰ καινῶν λείπεται κηδευμάτων,

................................................................................................................................................

77. κοὐκ ἔστ᾽ ἐκεῖνος τοῖσδε δώμασιν φίλος.

................................................................................................................................................

78. Τρ. ἀπωλόμεσθ᾽ ἄρ᾽, εἰ κακὸν προσοίσομεν

................................................................................................................................................

79. νέον παλαιῷ, πρὶν τόδ᾽ ἐξηντληκέναι.

................................................................................................................................................

80. Πα. ἀτὰρ σύ γ᾽ - οὐ γὰρ καιρὸς εἰδέναι τόδε

................................................................................................................................................

81. δέσποιναν - ἡσύχαζε καὶ σίγα λόγον.

................................................................................................................................................

82. Τρ. ὦ τέκν᾽, ἀκούεθ᾽ οἷος εἰς ὑμᾶς πατήρ;

................................................................................................................................................

83. ὄλοιτο μὲν μή· δεσπότης γάρ ἐστ᾽ ἐμός·

................................................................................................................................................

84. ἀτὰρ κακός γ᾽ ὢν ἐς φίλους ἁλίσκεται.

................................................................................................................................................

85. Πα. τίς δ᾽ οὐχὶ θνητῶν; ἄρτι γιγνώσκεις τόδε,

................................................................................................................................................

86. ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,

................................................................................................................................................

87. οἳ μὲν δικαίως, οἳ δὲ καὶ κέρδους χάριν,

................................................................................................................................................

88. εἰ τούσδε γ᾽ εὐνῆς οὕνεκ᾽ οὐ στέργει πατήρ.

89. Τρ. ἴτ᾽ - εὖ γὰρ ἔσται - δωμάτων ἔσω, τέκνα.

90. σὺ δ᾽ ὡς μάλιστα τούσδ᾽ ἐρημώσας ἔχε

91. καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.

92. ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην

93. τοῖσδ᾽, ὥς τι δρασείουσανῥ οὐδὲ παύσεται

94. χόλου, σάφ᾽ οἶδα, πρὶν κατασκῆψαί τινα.

95. ἐχθρούς γε μέντοι, μὴ φίλους, δράσειέ τι.

## 4° Episodio (vv. 764-810)

764. Μη.  ὦ Ζεῦ Δίκη τε Ζηνὸς Ἡλίου τε φῶς,

..............................................................................................................................

765. νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,

..............................................................................................................................

766. γενησόμεσθα κεἰς ὁδὸν βεβήκαμεν·

..............................................................................................................................

767. νῦν [δ᾽] ἐλπὶς ἐχθροὺς τοὺς ἐμοὺς τείσειν δίκην.

..............................................................................................................................

768. οὗτος γὰρ ἁνὴρ ᾗ μάλιστ᾽ ἐκάμνομεν

..............................................................................................................................

769. λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·

..............................................................................................................................

770. ἐκ τοῦδ᾽ ἀναψόμεσθα πρυμνήτην κάλων,

..............................................................................................................................

771. μολόντες ἄστυ καὶ πόλισμα Παλλάδος.

..............................................................................................................................

772. ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα

..............................................................................................................................

773. λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.

..............................................................................................................................

774. πέμψασ᾽ ἐμῶν τιν᾽ οἰκετῶν Ἰάσονα

..............................................................................................................................

775. ἐς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαιῥ·

..............................................................................................................................

776. μολόντι δ᾽ αὐτῷ μαλθακοὺς λέξω λόγους,

..............................................................................................................................

777. ὡς καὶ δοκεῖ μοι ταὐτά, καὶ καλῶς ἔχειν

..............................................................................................................................

778. γάμους τυράννων οὓς προδοὺς ἡμᾶς ἔχει·

.................................................................................................................................

779. καὶ ξύμφορ᾽ εἶναι καὶ καλῶς ἐγνωσμένα.

.................................................................................................................................

780. παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι,

.................................................................................................................................

781. οὐχ ὡς λιποῦσ᾽ ἂν πολεμίας ἐπὶ χθονὸς

.................................................................................................................................

782. ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,

.................................................................................................................................

783. ἀλλ᾽ ὡς δόλοισι παῖδα βασιλέως κτάνω.

.................................................................................................................................

784. πέμψω γὰρ αὐτοὺς δῶρ᾽ ἔχοντας ἐν χεροῖν,

.................................................................................................................................

785. νύμφῃ φέροντας, τήνδε μὴ φυγεῖν χθόνα,

.................................................................................................................................

786. λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον·

.................................................................................................................................

787. κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,

.................................................................................................................................

788. κακῶς ὀλεῖται πᾶς θ᾽ ὃς ἂν θίγῃ κόρης·

.................................................................................................................................

789. τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.

.................................................................................................................................

790. ἐνταῦθα μέντοι τόνδ᾽ ἀπαλλάσσω λόγον·

.................................................................................................................................

791. ᾤμωξα δ᾽ οἷον ἔργον ἔστ᾽ ἐργαστέον

.................................................................................................................................

792. τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτενῶ

.................................................................................................................................

793. τἄμ'· οὔτις ἔστιν ὅστις ἐξαιρήσεται·

..........................................................................................................................

794. δόμον τε πάντα συγχέασ᾽ Ἰάσονος

..........................................................................................................................

795. ἔξειμι γαίας, φιλτάτων παίδων φόνον

..........................................................................................................................

796. φεύγουσα καὶ τλᾶσ᾽ ἔργον ἀνοσιώτατον.

..........................................................................................................................

797. οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.

..........................................................................................................................

798. ἴτω· τί μοι ζῆν κέρδος; οὔτε μοι πατρὶς

..........................................................................................................................

799. οὔτ᾽ οἶκος ἔστιν οὔτ᾽ ἀποστροφὴ κακῶν.

..........................................................................................................................

800. ἡμάρτανον τόθ᾽ ἡνίκ᾽ ἐξελίμπανον

..........................................................................................................................

801. δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις

..........................................................................................................................

802. πεισθεῖσ᾽, ὃς ἡμῖν σὺν θεῷ τείσει δίκην.

..........................................................................................................................

803. οὔτ᾽ ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε

..........................................................................................................................

804. ζῶντας τὸ λοιπὸν οὔτε τῆς νεοζύγου

..........................................................................................................................

805. νύμφης τεκνώσει παῖδ᾽, ἐπεὶ κακῶς κακὴν

..........................................................................................................................

806. θανεῖν σφ᾽ ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.

..........................................................................................................................

807. μηδείς με φαύλην κἀσθενῆ νομιζέτω

..........................................................................................................................

808. μηδ᾽ ἡσυχαίαν, ἀλλὰ θατέρου τρόπου,

……………………………………………………………………………………………………

809. βαρεῖαν ἐχθροῖς καὶ φίλοισιν εὐμενῆ·

……………………………………………………………………………………………………

810. τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος.

……………………………………………………………………………………………………

……………………………………………………………………………………………………

……………………………………………………………………………………………………

……………………………………………………………………………………………………

……………………………………………………………………………………………………

……………………………………………………………………………………………………

**5° Episodio (vv. 1002-1080)**

1002. Πα. δέσποιν᾽, ἀφεῖνται παῖδες οἵδε σοὶ φυγῆς,

.......................................................................................................................................

1003. καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν

.......................................................................................................................................

1004. ἐδέξατ'· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.

.......................................................................................................................................

ἔα.

.......................................................................................................................................

1005. τί συγχυθεῖσ' ἕστηκας ἡνίκ' εὐτυχεῖς;

.......................................................................................................................................

1006. [τί σὴν ἔστρεψας ἔμπαλιν παρηίδα

.......................................................................................................................................

1007. κοὐκ ἀσμένη τόνδ᾽ ἐξ ἐμοῦ δέχῃ λόγον;]

.......................................................................................................................................

Μη. αἰαῖ.

.......................................................................................................................................

1008. Πα. τάδ᾽ οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.

.......................................................................................................................................

1009. Μη. αἰαῖ μάλ᾽ αὖθις. Πα. μῶν τιν᾽ ἀγγέλλων τύχην

.......................................................................................................................................

1010. οὐκ οἶδα, δόξης δ᾽ ἐσφάλην εὐαγγέλου;

.......................................................................................................................................

1011. Μη. ἤγγειλας οἷ᾽ ἤγγειλαςῥ οὐ σὲ μέμφομαι.

.......................................................................................................................................

1012. Πα. τί δαὶ κατηφεῖς ὄμμα καὶ δακρυρροεῖς;

.......................................................................................................................................

1013. Μη. πολλή μ᾽ ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοὶ

.......................................................................................................................................

κἀγὼ κακῶς φρονοῦσ' ἐμηχανησάμην.
Πα. θάρσει· κάτει τοι καὶ σὺ πρὸς τέκνων ἔτι.
Μη. ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν' ἐγώ.
Πα. οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνωνῥ
κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.
Μη. δράσω τάδ᾽. ἀλλὰ βαῖνε δωμάτων ἔσω
καὶ παισὶ πόρσυν᾽ οἷα χρὴ καθ᾽ ἡμέραν.
ὦ τέκνα τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις
καὶ δῶμ᾽, ἐν ᾧ, λιπόντες ἀθλίαν ἐμέ,
οἰκήσετ᾽ αἰεὶ μητρὸς ἐστερημένοι·
ἐγὼ δ' ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγάς,
πρὶν σφῷν ὀνάσθαι κἀπιδεῖν εὐδαίμονας,
πρὶν λέκτρα καὶ γυναῖκα καὶ γαμηλίους
εὐνὰς ἀγῆλαι λαμπάδας τ᾽ ἀνασχεθεῖν.
ὦ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας.

1029. ἄλλως ἄρ᾽ ὑμᾶς, ὦ τέκν᾽, ἐξεθρεψάμην,

..........................................................................................................................................

1030. ἄλλως δ᾽ ἐμόχθουν καὶ κατεξάνθην πόνοις,

..........................................................................................................................................

1031. στερρὰς ἐνεγκοῦσ᾽ ἐν τόκοις ἀλγηδόνας.

..........................................................................................................................................

1032. ἦ μήν ποθ᾽ ἡ δύστηνος εἶχον ἐλπίδας

..........................................................................................................................................

1033. πολλὰς ἐν ὑμῖν, γηροβοσκήσειν τ᾽ ἐμὲ

..........................................................................................................................................

1034. καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,

..........................................................................................................................................

1035. ζηλωτὸν ἀνθρώποισιῥ νῦν δ᾽ ὄλωλε δὴ

..........................................................................................................................................

1036. γλυκεῖα φροντίς. σφῷν γὰρ ἐστερημένη

..........................................................................................................................................

1037. λυπρὸν διάξω βίοτον ἀλγεινόν τ᾽ ἐμοί.

..........................................................................................................................................

1038. ὑμεῖς δὲ μητέρ᾽ οὐκέτ᾽ ὄμμασιν φίλοις

..........................................................................................................................................

1039. ὄψεσθ᾽, ἐς ἄλλο σχῆμ᾽ ἀποστάντες βίου.

..........................................................................................................................................

1040. φεῦ φεῦῥ τί προσδέρκεσθέ μ᾽ ὄμμασιν, τέκνα;

..........................................................................................................................................

1041. τί προσγελᾶτε τὸν πανύστατον γέλων;

..........................................................................................................................................

1042. αἰαῖ· τί δράσω; καρδία γὰρ οἴχεται,

..........................................................................................................................................

1043. γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων.

..........................................................................................................................................

1044. οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα

.......................................................................................................................

1045. τὰ πρόσθενῥ ἄξω παῖδας ἐκ γαίας ἐμούς.

.......................................................................................................................

1046. τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς

.......................................................................................................................

1047. λυποῦσαν αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;

.......................................................................................................................

1048. οὐ δῆτ᾽ ἔγωγε. χαιρέτω βουλεύματα.

.......................................................................................................................

1049. καίτοι τί πάσχω; βούλομαι γέλωτ᾽ ὀφλεῖν

.......................................................................................................................

1050. ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;

.......................................................................................................................

1051. τολμητέον τάδ᾽. ἀλλὰ τῆς ἐμῆς κάκης,

.......................................................................................................................

1052. τὸ καὶ προσέσθαι μαλθακοὺς λόγους φρενί.

.......................................................................................................................

1053. χωρεῖτε, παῖδες, ἐς δόμους. ὅτῳ δὲ μὴ

.......................................................................................................................

1054. θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,

.......................................................................................................................

1055. αὐτῷ μελήσει· χεῖρα δ᾽ οὐ διαφθερῶ.

.......................................................................................................................

ἆ ἆ.

.......................................................................................................................

1056. μὴ δῆτα, θυμέ, μὴ σύ γ' ἐργάσῃ τάδε·

.......................................................................................................................

1057. ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·

1058. ἐκεῖ μεθ᾽ ἡμῶν ζῶντες εὐφρανοῦσί σε.

1059. μὰ τοὺς παρ᾽ Ἅιδῃ νερτέρους ἀλάστορας,

1060. οὔτοι ποτ᾽ ἔσται τοῦθ᾽ ὅπως ἐχθροῖς ἐγὼ

1061. παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.

1062. [πάντως σφ᾽ ἀνάγκη κατθανεῖνϸ ἐπεὶ δὲ χρή,

1063. ἡμεῖς κτενοῦμεν οἵπερ ἐξεφύσαμεν.]

1064. πάντως πέπρακται ταῦτα κοὐκ ἐκφεύξεται.

1065. καὶ δὴ ᾽πὶ κρατὶ στέφανος, ἐν πέπλοισι δὲ

1066. νύμφη τύραννος ὄλλυται, σάφ᾽ οἶδ᾽ ἐγώ.

1067. ἀλλ᾽, εἶμι γὰρ δὴ τλημονεστάτην ὁδόν,

1068. καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι,

1069. παῖδας προσειπεῖν βούλομαι. - δότ᾽, ὦ τέκνα,

1070. δότ᾽ ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.

1071. ὦ φιλτάτη χείρ, φίλτατον δέ μοι στόμα

..........................................................................................................................

1072. καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων,

..........................................................................................................................

1073. εὐδαιμονοῖτον, ἀλλ᾽ ἐκεῖῤ τὰ δ᾽ ἐνθάδε

..........................................................................................................................

1074. πατὴρ ἀφείλετ᾽. ὦ γλυκεῖα προσβολή,

..........................................................................................................................

1075. ὦ μαλθακὸς χρὼς πνεῦμά θ᾽ ἥδιστον τέκνων.

..........................................................................................................................

1076. χωρεῖτε χωρεῖτῤ οὐκέτ᾽ εἰμὶ προσβλέπειν

..........................................................................................................................

1077. οἵα τε πρὸς ὑμᾶσ, ἀλλὰ νικῶμαι κακοῖς.

..........................................................................................................................

1078. καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά,

..........................................................................................................................

1079. θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,

..........................................................................................................................

1080. ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

..........................................................................................................................

..........................................................................................................................

..........................................................................................................................

..........................................................................................................................

..........................................................................................................................